## Παραδείγματα τοῦ πρώτου Σχήματος τῶν καταλλήλων συζυγιῶν.

Γρά Πᾶν Ζῶον ἐςὶν αἰσθητικὸν,
μμα Πᾶς ἄν̄ος ἐςὶ Ζῶον,
τι Πᾶς ἄρα ἄν̄ος ἐςὶν αἰσθητικόν.

Πᾶν β̄ ἐςὶν ᾱ
Πᾶν γ̄ ἐςὶ β̄
Ἄρα πᾶν γ̄ ἐςὶν ᾱ.

Σα Πᾶν πτερωτὸν ἵπταται,
νί Τὶς Κόραξ ἐςὶ πτερωτὸν,
δι Ἄρα τὶς Κόραξ ἵπταται.




Θέ Οὐδὲν τετράπουν ἐςὶ γραμματικόν.
α Πᾶς Ὄνος ἐςὶ τετράπουν,
σε Ἄρα οὐδεὶς Ὄνος ἐςὶ γραμματικός.

Τε Οὐδὲν Ὄρνεον λογικὸν,
χνι Τὶ δίπουν ἐςὶν Ὄρνεον,
κὸς Ἄρα τὶ δίπουν οὐκ ἔςι λογικόν.




## Συζυγίαι ἀκατάλληλοι ἐπὶ τοῦ αὐτοῦ.

Γρά Πᾶς Ὄρνις πτηνὸν,
φα Πᾶς Κόραξ Ὄρνις,
λιν Ἄρα τὶ πτηνὸν ἐςὶ Κόραξ.

Τάσ Πᾶν φυτὸν ἔμψυχον,
συ Οὐδεὶς Ὄρνις φυτὸν,
μο Ἄρα τὶ ἔμψυχον οὐκ ἔςιν Ὄρνις.

Σά Πᾶς γεωμέτρης δίπουν,
βι Τὶς ἄν̄ος γεωμέτρης,
τιν Ἄρα τὶ δίπουν ἄν̄ος.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Θέ Οὐδεὶς Ὄρνις γραμματικὸς,
α Πᾶς Κόραξ Ὄρνις,
ζω Ἄρα οὐδεὶς γραμματικὸς Κόραξ.

Τίν Τὶ τετράπουν ἐστὶν Ὄνος,
εν Οὐδεὶς Ὄρνις ἐστὶ τετράπουν,
μο Ἄρα τὶς Ὄνος οὐκ ἔστιν Ὄρνις.

## Παραδείγματα τῶν καταλλήλων συζυγιῶν ἐπὶ τοῦ δευτέρου Σχήματος.

Θάμ Πᾶς Ὄρνις δίπουν,
βεν Οὐδεὶς Ἵππος δίπουν,
εν Ἄρα οὐδεὶς Ἵππος Ὄρνις:

Γρά Πᾶς Κόραξ δίπουν,
ψο Τὶς Ὄνος οὐ δίπουν,
δο Ἄρα τὶς Ὄνος οὐκ ἔστι Κόραξ.

Θεύ Οὐδεὶς Γεωμέτρης τετράπουν,
α Πᾶς Ἵππος τετράπουν,
ζε Ἄρα οὐδεὶς Ἵππος γεωμέτρης.

Τεύ Οὐδεὶς γραμματικὸς πτηνὸν,
ι Τὶς Κόραξ πτηνὸν,
ο Ἄρα τὶς Κόραξ οὐκ ἔστι γραμματικός.

## Ἀκαταλλήλως ἐπὶ τοῦ αὐτοῦ Σχήματος.

Τί Τὶς Ἄνος γεωμέτρης,
εν Οὐδεὶς ἀμαθὴς γεωμέτρης,
μο Ἄρα τὶς Ἄνος οὐκ ἔστιν ἀμαθής.

Συζυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΡΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Συζυγίαι κατάλληλοι τοῦ τρίτου Σχήματος.

Σά Πᾶς Κύων ὑλακτεῖ,
βα Πᾶς Κύων τετράπουν,
σι Ἄρα τὶ τετράπουν ὑλακτεῖ.

Σά Πᾶς Ὄρνις ἵπταται,
ρι Τὶς Ὄρνις ἐστὶ θαλάσσιος,
νι Ἄρα τὶ θαλάσσιον ἵπταται.

Τέ Οὐδεὶς Ἰχθὺς ᾄδει,
πα Πᾶς Ἰχθὺς ἄπουν,
σο Ἄρα τὶ ἄπουν οὐκ ᾄδει.

Τέ Οὐδὲν ἀναπνευστικὸν ἔνυδρον,
ριν Τὶ ἀναπνευστικὸν δίπουν,
θο Ἄρα τί δίπουν οὐκ ἔστιν ἔνυδρον.

Σπιν Τὶς Ἰχθὺς σκαίρει,
θα Πᾶς Ἰχθὺς ἄφωνος,
μὶν Ἄρα τὶ ἄφωνον σκαίρει.

Γορ Τί δένδρον οὐκ ἔστι Συκῆ,
γά Πᾶν δένδρον ἔμψυχον,
δο Ἄρα τὶ ἔμψυχον οὐκ ἔστι Συκῆ.

## Ἀκατάλληλοι ἐπὶ τοῦ αὐτοῦ Σχήματος.

Τά Πᾶσα Συκῆ φυτὸν,
σε Οὐδεμία Συκῆ Ἐλαία,
μο Ἄρα τὶ φυτὸν οὐκ ἔστιν Ἐλαία.

Τί Τὶς γραμματικὸς δίπουν,
νε Οὐδεὶς γραμματικὸς Ὄρνις,
μο Ἄρα τὶ δίπουν οὐκ ἔστιν Ὄρνις.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Παρατήρησις περὶ τὰ τῶν συλλογισμῶν Σχήματα.

ΚΑθόλου παρατηρητέον περὶ τὰ ἐκτεθέντα τῶν συλλογισμῶν σχήματα, ὅτι ἐκ δύο ἀποφατικῶν, οὐκ ἔστι συλλογίσασθαι, οὔτε ἐκ δύο μερικῶν, ἐπιστημονικῶς, ὅτι ἐξ ἁπλῶν μερικῶν μὲν, ἢ ἀπροσδιορίστων, οὐδὲν ἀναγκαίως ἕπεται διὰ τὸν τοῦ σχήματος λόγον. ὡς ἂν εἴ τις εἴποι. τὶς ἄνθρωπος ἐστὶ σοφὸς, ὁ Σωκράτης ἐστὶν ἄνθρωπος, ἄρα ὁ Σωκράτης ἐστὶ σοφός. Τῷ δὲ λόγῳ τῆς ὕλης ἕπεταί ποτέ τι ἐξ ἀνάγκης. ὡς ἂν εἴ τις εἴποι. τὶ ζῶον ἐστὶν οὐσία, τὶς ἄνθρωπος ἐστὶ ζῶον, ἄρα τὶς ἄνθρωπος ἐστὶν οὐσία. Οὔτε ἐκ μόνων ἀποφατικῶν, οὐδὲν ἀναγκαῖον συνάγεται συμπέρασμα, τῷ τοῦ σχήματος λόγῳ. οἷον, οὐδὲν συμβεβηκὸς τρέχει, οὐδεὶς ἄνθρωπος ἐστὶ συμβεβηκὸς, ἄρα οὐδεὶς ἄνθρωπος τρέχει. Κατὰ δὲ τὴν ὕλην ἕπεται ἀληθὲς τὸ συμπέρασμα. οἷον, οὐδεὶς Ἄνθρωπος ἐστὶ λίθος, οὐδεὶς Ἵππος ἐστὶν Ἄνθρωπος, ἄρα οὐδεὶς Ἵππος ἐστὶ λίθος.

## Περὶ τῆς ἀναγωγῆς τῶν Συλλογισμῶν τοῦ δευτέρου καὶ τρίτου Σχήματος ἐπὶ τοὺς τέτταρας τρόπους τοῦ πρώτου Σχήματος καταλλήλως συμπεραίνοντας.

ΤΕλειοῦνται τοιγαροῦν οἱ Συλλογισμοὶ τοῦ δευτέρου καὶ τρίτου σχήματος, ἐπὶ τὸ πρῶτον ἀναγόμενοι Σχῆμα, ἐν ᾧ ἐκδηλότερον γίνεται τὸ ἀναγκαῖον τῆς συναγωγῆς αὐτῶν. δυσὶ τρόποις, οἱ μὲν γὰρ δι' ἀντιστροφῆς τῶν προτάσεων, οἱ δὲ διὰ τῆς εἰς ἀδύνατον δείξεως. Οἱ μὲν γὰρ τοῦ δευτέρου Σχήματος συλλογιστικοὶ τρόποι, ἀνάγονται ἐπὶ τὸ πρῶτον δι' ἀντιστροφῆς τῆς μείζονος προτάσεως, πλὴν τοῦ Γράφοδο. Οἱ δὲ τοῦ τρίτου δι' ἀντιστροφῆς τῆς ἐλάττονος, πλὴν τοῦ Γοργάδο. Δηλοῦται δὲ ἡμῖν ἀπὸ τῶν ἀρκτικῶν συμφώνων τῶν ἐν ἑκάστῃ συζυγίᾳ κειμένων λέξεων. ἐπὶ τίνα τῶν ἐν τῷ πρώτῳ σχήματι καταλλήλων τρόπον ἀνακτέον ἕκαστον τῶν ἐν τῷ δευτέρῳ καὶ τρίτῳ. Ὅσαι γὰρ ἀπὸ τοῦ Γ ἄρχονται ἐπὶ τὴν ἐν τῷ πρώτῳ πρώτην ἀνάγονται συζυγίαν, δηλαδὴ τὰ Γράμματα. ὅσαι δὲ ἀπὸ τοῦ Σ ἐπὶ τὴν Σανίδι. καὶ ὅλως αἱ ἀπὸ τοῦ αὐτοῦ συμφώνου,

ἐπὶ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐπὶ τὰς ἐκ τοῦ αὐτοῦ ἀρχομένας συμφώνου πεφύκασι μεταφέρεσθαι. Τῶν δὲ λοιπῶν συμφώνων τῶν ἐν ταῖς αὐταῖς λέξεσι, τὸ μὲν Ν˘ καὶ Σ˘, ἔνθα ἂν πρόσκειται, ἀντιστροφὴν δηλοῦσι τῶν προτάσεων. τὸ μὲν Ν˘ ἁπλῶς ἁπλῆν ἀντιστροφὴν, τοῦ αὐτοῦ δηλαδὴ φυλαττομένου ποιοῦτε καὶ ποσοῦ μετὰ τοῦ συναληθεύειν. τὸ δὲ Σ˘ τὴν κατὰ συμβεβηκὸς ἁπλῆν ἀντιστροφὴν δηλοῖ. ἐφ᾽ ἧς μεταβαλλομένου τοῦ ποσοῦ, τὸ ποιὸν μένει ταὐτόν. Ἐν αἷς δὲ λέξεσι τὸ Μ˘ ἐνυπάρχει, μετάθεσιν τῶν προτάσεων σημαίνει. Ἐφ᾽ ὧν δὲ τὸ Δ˘ πρόσκειται, τὸν Συλλογισμὸν δηλοῖ, μὴ ἄλλως δείκνυσθαι διὰ τοῦ πρώτου Σχήματος, ἢ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ. (1) τὰ δὲ παρὰ ταῦτα παρέλκει.

## Περὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς.

ΠΡῶτος τοιγαροῦν τρόπος καθ᾽ ὃν οἱ ἀτελεῖς συλλογισμοὶ ἐμπεδοῦνται διὰ τῶν τελείων τοῦ πρώτου Σχήματος ἐστὶν ὁ ἤδη ἐκτεθείς. δεύτερος δὲ τρόπος αὐτὸ τοῦτο κατεργαζόμενος, δεῖξις ἐστὶν εἰς ἀδύνατόν τι ἀπάγουσα τὸν προσδιαλεγόμενον. ὅθεν καὶ ἀπαγωγὴ εἴρηται εἰς ἀδύνατον. Ἔστι δὲ αὕτη ἡ δεῖξις συλλογισμὸς ἐξ ὑποθέσεως, ὃς τὸ ἀντιφατικῶς ἀντικείμενον τοῦ ὃ βούλεται δεῖξαι ὑποθέμενος, διὰ τούτου αὐτοῦ καὶ ἄλλης τινὸς ὁμολογουμένης προτάσεως, ἀδύνατόν τι δεικτικῶς συλλογίζεται ἑπόμενον διὰ τὴν ὑπόθεσιν, δι᾽ οὗ ἀναιρεῖται μὲν ἡ ὑπόθεσις, τίθεται δὲ τὸ ἀντικείμενον τῆς ὑποθέσεως, ὅπερ ἐβούλετο δεῖξαι, τῷ δεῖν ἀεὶ τὸ ἕτερον μόριον τῆς ἀντιφάσεως ἀληθεύειν. Διὰ ταύτης οὖν τῆς δείξεως καὶ οἱ ἄλλοι μὲν ἐμπεδοῦνται συλλογισμοὶ, ἰδίᾳ δὲ ὁ Γράψοδο ἐν τῷ δευτέρῳ Σχήματι, καὶ ὁ Γοργάδο ἐν τῷ τρίτῳ. οὓς οὐδὲ κατὰ τὴν πρώτην μέθοδον ἐνδέχεται ἐπὶ τὸ πρῶτον ἀναχθῆναι Σχῆμα. πλὴν διὰ μόνης τῆς εἰς ἀδύνατον ἀπαγωγῆς ἀμφότεροι ἐπὶ τὸν Γράμματι ἀνάγονται τοῦ πρώτου σχήματος. οἷον ἐπὶ τοῦ Γράψοδο ἔστω συλλογισμὸς ἐν τῷ δευτέρῳ σχήματι.

Pag. 395.




Γρά Πᾶν Ζῶον αἰσθητικὸν,
ψο Οὐ πᾶν ἔμψυχον αἰσθητικὸν,
δο Οὐ πᾶν ἔμψυχον ἄρα Ζῶον.



(1) Ὡς τὸ, Τ˘, Ρ˘, καὶ τὰ λοιπά.

Τούτου τοῦ Συλλογισμοῦ εἴτις ὁμολογήσας τὰς προτάσεις, ἀποφήσειε τὸ συναγόμενον, δειχθήσεται δι' ἀπαγωγῆς οὕτω προσλαβόντες τὸ ἀντιφατικῶς ἀντικείμενον τοῦ συναγομένου, ὅπερ ἐστὶ πᾶν ἔμψυχον ἐστὶ ζῶον, καὶ τῶν προτάσεων τὴν μείζονα, ἣ ὁμολόγηται τῷ προσδιαλεγομένῳ, συνάξομεν ἐπὶ τοῦ πρώτου σχήματος ἐν τῇ πρώτῃ συζυγίᾳ, πᾶν ἔμψυχον ἐστὶν αἰσθητικόν. ὅπερ ἀντίκειται τῇ ὁμολογηθείσῃ προτάσει. οἷον.

Πᾶν Ζῶον αἰσθητικόν,
Πᾶν ἔμψυχον Ζῶον,
Πᾶν ἄρα ἔμψυχον αἰσθητικόν.



Pag. 396 fig. 1.

Ἐπεὶ τοιγαροῦν τὸ συναχθὲν ψεῦδος ἐστὶ, ψευδὴς ἡ ἑτέρα πάντως τῶν προτάσεων. ἐκ γὰρ ἀληθῶν οὐ συνάγεται ψεῦδος, ἀλλ' ἢ ἀληθές. ἀλλ' ἡ μὲν μείζων ὡμολόγηται, ψευδὴς ἄρα ἡ ἐλάττων ἣν ὑπεθέμεθα. εἰ δὲ ψευδὴς ἡ ἐλάττων, ἀληθὲς ἄρα τὸ ἀντικείμενον ἐκείνης ἀντιφατικῶς, ὅπερ ἦν συναγόμενον τὴν ἀρχὴν, διὰ τοῦ Γράψοδο συλλογισμοῦ. Ὁμοίως δὲ κἀπὶ τοῦ τρίτου Σχήματος ὁ Γοργάδο ἐμπεδοῦται, ἀναγόμενος εἰς τὸν Γράμματα τοῦ πρώτου σχήματος διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. Ἔστω συλλογισμὸς ἐπὶ τοῦ τρίτου σχήματος ἐν Γοργάδο.

Pag. 396. fig. 2.

Γορ Οὐ πᾶς ἄνος λευκός,
γά Πᾶς ἄνος Ζῶον,
δο Ἄρα τὶ Ζῶον οὐκ ἔστι λευκόν.




Εἴτις οὖν ὁμολογήσας τὰς προτάσεις, ἀποφήσειε τὸ συναγόμενον, μεταληπτέον τὸ ἀντιφατικῶς ἀντικείμενον τοῦ συναγομένου. ὅπερ ἐστὶ πᾶν ζῶον λευκόν. καὶ τὴν ἐλάττονα τὴν ὁμολογηθεῖσαν ἐν τῷ συλλογισμῷ, καὶ οὕτω συλλογιστέον.

Πᾶν ζῶον λευκόν,
Πᾶς ἄνος ζῶον,
Πᾶς ἄρα ἄνος λευκός.



Pag. 396. fig. 3.

Ὅπερ ἀντίκειται τῇ ὁμολογηθείσῃ προτάσει. εἰ οὖν τὸ πᾶς ἄνθρωπος

πος

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Π. ΚΟΝΤΟΓΙΑΝΝΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πος λευκὸς, ψεῦδος ἐστὶ διὰ τὴν ὑπόθεσιν, ἡ ὑπόθεσις ἄρα ἔσται ψευδὴς, τὸ δὲ ἀντικείμενον ἐκείνης ἀληθὲς, ὅπερ ἦν τὸ τὴν ἀρχὴν συναχθὲν διὰ τοῦ Γοργάδο.

## Ποσαχῶς ἡ εἰς ἀδύνατον ἀπαγωγή.

Η Διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δεῖξις, τετραχῶς ἐνδέχεται γίνεσθαι. Πρῶτον λαμβάνουσι τὸ ἀντιφατικῶς ἀντικείμενον τοῦ συμπεράσματος ἀντὶ μείζονος. τῆς δὲ μείζονος εἰς ἐλάττω μετατιθεμένης. ᾧ δὴ τρόπῳ, αἱ τέτταρες ἀκατάλληλοι συζυγίαι τοῦ πρώτου σχήματος δείκνυνται, πλὴν τῆς Θέαζον. β'. Αὕτη (1) δὲ ἡ συζυγία ἀνάγεται ἐπὶ τὸ πρῶτον Σχῆμα, καὶ ἐμπεδοῦται, τῆς μὲν ἐλάττονος μετατιθεμένης εἰς μείζονα, τοῦ δὲ ἀντικειμένου τοῦ συναγομένου, ἐλάττονος χώραν πληροῦντος. Τρίτον τὸ μὲν ἀντικείμενον τοῦ συμπεράσματος ἀντὶ ἐλάττονος λαμβάνουσιν, ὑπομενούσης τῆς μείζονος κατὰ χώραν. ᾧ δὴ τρόπῳ, ἐμπεδοῦνται διὰ τῆς εἰς ἀδύνατον δείξεως, πᾶσαι αἱ (2) κατάλληλοι συζυγίαι τοῦ δευτέρου σχήματος. Τέταρτον γίνεται ἀπαγωγὴ καὶ ἐμπέδωσις λαμβάνουσι τὸ ἀντικείμενον τοῦ συμπεράσματος ἀντὶ τῆς μείζονος, ὑπομενούσης τῆς ἐλάττονος κατὰ χώραν, ᾧ δὴ τρόπῳ ἐμπεδοῦνται πᾶσαι αἱ κατάλληλοι συζυγίαι τοῦ τρίτου σχήματος, διὰ τῆς εἰς ἀδύνατον δείξεως. Ἵνα δὲ εὐκρινέστερον ληφθείη καὶ βεβαιότερον διαμένοι τῇ μνήμῃ τὰ εἰρημένα, σημειούσθω ἐφεξῆς ἐν τισὶ στίχοις ταῦτα.

Τὸ ō ἀντὶ τοῦ ᾱ καὶ τὸ ᾱ γινέσθω ε̄.
Τὸ ō ἀντὶ τοῦ ε̄ καὶ τὸ ε̄ γινέσθω ᾱ.
Τὸ ō ἀντὶ τοῦ ε̄ ὑπομένοντος τοῦ ᾱ.
Τὸ ō ἀντὶ τοῦ ᾱ ὑπομένοντος τοῦ ε̄.

Ὁ πρῶτος στίχος δηλοῖ τὸν τρόπον τῆς ἀπαγωγῆς, καθ' ὃν αἱ ἀκατάλληλοι τοῦ πρώτου σχήματος τελειοῦνται, πλὴν τοῦ Θέαζον. Ὁ δεύτερος τὸν τρόπον καθ' ὃν ἡ συζυγία τοῦ Θέαζον. Ὁ τρίτος καθ' ὃν ἡ ἐν τῷ δευτέρῳ σχήματι, Καὶ ὁ τέταρτος καθ' ὃν ἡ ἐν τῷ τρίτῳ. ἐφ' ὧν τὸ μὲν ō σημαίνει τὴν ληφθεῖσαν ἀντιφατικὴν τοῦ συμπεράσματος, τὸ δὲ ᾱ τὴν ζονα πρότασιν, τὸ δὲ ε̄ τὴν ἐλάττονα.

Ὅπως

(1) Ἡ Θέαζον. (2) Ἐξαιρέτως ἡ γράψοδοι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ
Ε.Υ. Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Ὅπως πάντες οἱ Συλλογισμοὶ τελειοῦται διὰ τῶν δύο (1) καθόλου τῶν ἐν τῷ πρώτῳ σχήματι.

ΤΟν οὖν εἰρημένον τρόπον διὰ τῆς εἰς ἀδύνατον δηλονότι δείξεως, καὶ οἱ λοιποὶ πάντες Συλλογισμοὶ τελειοῦνται ἀναγόμενοι ἐπὶ τὸ πρῶτον Σχῆμα. ἐπεὶ δὲ τῶν ἐν τῷ πρώτῳ Σχήματι τελειότατοι εἰσὶν, οἱ τὰ καθόλου συνάγοντες προβλήματα, ὁ Γράμματα δηλαδὴ, καὶ ὁ Θέασε, τοῦ πρώτου σχήματος, διὰ τούτων δείκνυσι πάντας τελειουμένους ὁ Φιλόσοφος. τοῦ μὲν γὰρ δευτέρου σχήματος οἱ τὰ καθόλου συνάγοντες προβλήματα, ἐπὶ τὸν Θέασε τοῦ πρώτου Σχήματος προδήλως ἀνάγονται, ἀντιστρεφομένης τῆς ἐν αὐτοῖς καθόλου ἀποφατικῆς προτάσεως. Τῶν δὲ λοιπῶν δύο, διὰ τῆς εἰς ἀδύνατον δείξεως. ὁ μὲν Γράψοδο ἐπὶ τὸν Γράμματα, ὡς ἀνωτέρω δέδεικται. ὁ δὲ Τένιο ἐπὶ τὸν Θέασε, ἀνάγεται, τρόπῳ τοιῷδε. εἰ τὸ συναγόμενον ἀποφήσειέ τις, ὁμολογήσας τὰς προτάσεις τοῦ Τένιο, ἕξεσι τὸ ἀντικείμενον ἐκείνου μεταλαβεῖν, ἐξ οὗ ἀντὶ ἐλάττονος, καὶ τῆς μείζονος τοῦ αὐτοῦ συλλογισμοῦ, συνάγεται ἐπὶ τοῦ πρώτου σχήματος ἀδύνατόν τι. ἔστω συλλογισμὸς ἐπὶ τοῦ Τένιο.

Pag. 398.

Τέ Οὐδεὶς λίθος ζῶον,
νι Τὶ σῶμα ζῶον,
ο Τὶ σῶμα ἄρα οὐκ ἔστι λίθος.




Μεταφέρεται ἐπὶ τὸν Θέασε τὸν εἰρημένον τρόπον.




Θέ Οὐδεὶς λίθος ζῶον,
α Πᾶν σῶμα λίθος,
σε Οὐδὲν ἄρα σῶμα ζῶον.

Οἱ δὲ μερικοὶ δύο τοῦ πρώτου Σχήματος, ὁ Σανίδι, καὶ Τεχνικὸς μεταφέρονται διὰ τῆς εἰς ἀδύνατον ἀπαγούσης δείξεως, ἐπὶ τοὺς δύο καθόλου τοῦ δευτέρου σχήματος, ὁ μὲν Σανίδι ἐπὶ τὸν Θάμβονεν, οὕτω.

Σα

(1) Ἤτοι γράμματα, Θέασε.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Pag. 399.

Σα Πᾶς ἄνος λογικός,
νί Τὶ ζῶον ἐστὶν ἄνος,
δι Ἄρα τὶ ζῶον λογικόν.




Θάμ Πᾶς ἄνος λογικός,
βεν Οὐδὲν ζῶον λογικὸν,
εν Οὐδὲν ἄρα ζῶον ἄνος.




Ὁ δὲ Τεχνικὸς ἀνάγεται ἐπὶ τὸν Θέναζε. ἔστω συλλογισμὸς ὁ Τεχνικός.




Τε Οὐδεὶς ἄνος ἄλογον,
χνι Τὶ ζῶον ἄνος,
κὸς Ἄρα τὶ ζῶον οὐκ ἔστιν ἄλογον.




Θέ Οὐδεὶς ἄνος ἄλογον,
να Πᾶν ζῶον ἄλογον,
ζε Οὐδὲν ἄρα ζῶον ἄνος.

Ἐπεὶ οὖν οἱ ἐν τῷ δευτέρῳ Σχήματι ἀνάγονται πάντες εἰς τοὺς ἐν τῷ πρώτῳ Σχήματι καθόλου Συλλογισμοὺς ὡς δέδεικται, οἱ δὲ κατὰ μέρος ἐν τῷ πρώτῳ ἀνάγονται εἰς τοὺς ἐν τῷ δευτέρῳ, καὶ οἱ κατὰ μέρος ἄρα ἐν τῷ πρώτῳ ἀναχθήσονται εἰς τοὺς ἐν τῷ πρώτῳ καθόλου.

Ὅτι δὲ καὶ οἱ τοῦ τρίτου σχήματος ἀνάγονται εἰς τοὺς εἰρημένους δύο τοῦ πρώτου Σχήματος καθόλου συλλογισμοὺς δείκνυται. πάντες γὰρ πλὴν τοῦ Γοργάδο ἐδείχθησαν ἀνωτέρω, ἀναγόμενοι ἐπὶ τοὺς κατὰ μέρος τοῦ πρώτου Σχήματος, τοὺς δὲ κατὰ μέρος τοὺς ἐν τῷ πρώτῳ Σχήματι, εἰς τοὺς καθόλου τοὺς ἐν τῷ πρώτῳ Σχήματι ἀνάγεσθαι διὰ τῶν (1) ἐν τῷ δευτέρῳ καθόλου ἄρτι δεδειχότες ἐσμέν, καὶ οἱ τοῦ τρίτου ἄρα Σχήματος ἐπὶ τοὺς ἐν τῷ πρώτῳ σχήματι καθόλου ἀναχθήσονται, πλὴν τοῦ Γοργάδο. ἀλλὰ καὶ αὐτὸν τοῦτον τὸν Γοργάδο ἐπὶ τὸν Γράμματα ἀνάγεσθαι διὰ τῆς ἀδυνάτου ἀπαγωγῆς, ἤδη δέδεικται. πάντες ἄρα οἱ συλλογισμοὶ

(1) Θάμβεν, Θέναζε.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Κ.Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μοὶ τελειοῦνται διὰ τῶν δύο καθόλου τοῦ πρώτου σχήματος εἰς ἐκείνους ἀναγόμενοι. καὶ περὶ τούτων μὲν ἅλις.

# ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

## Περὶ (1) εὑρέσεως Προτάσεων, ἤτοι τοῦ μέσου Ὅρου.

Τέχνης μὲν (οἷα δήπου καὶ πάσης ἐπιστητοῦ ἕξεως) ἴδιον τὴν ἀρχὴν ἁπλῶς παραδίδοσθαι, κατὰ κοινότερον λόγον ποριζομένης, προϊούσης δὲ ἀεὶ ἐπὶ τὸ τελεώτερον ἔρχεσθαι, κατὰ τοὺς εἰδικωτέρους ἑαυτῆς προσλαμβανομένης λόγους. Τεχνίτης δ᾽ ἐστὶν ἄριστος, ὁ μὴ μόνον εἰδὼς ὅπως ἕκαστα χρὴ τὰ τῆς τέχνης διαπράττεσθαι, ἀλλὰ καὶ προχείρως, καὶ εὐμαρῶς ἀποτελεῖν τὰ αὐτά. ὅτου χάριν ἡμῖν ὁ Φιλόσοφος ἐν (2) τῷ πρώτῳ τῶν εἰς τρία τοῦ παρόντος βιβλίου τὸν τρόπον εἰσηγησάμενος τῆς τοῦ Συλλογισμοῦ κατασκευῆς, μέθοδον ἤδη ἐν τῷ δευτέρῳ τμήματι παραδοῦναι προβάλλεται, καθ᾽ ἣν ἡμῖν εὐμαρὴς γένοιτο ἡ (3) τούτου κατασκευή. ἔσται δὲ τοῦθ᾽ ὁπηνίκα προτάσεων εὐμοιροῦμεν, ἐξ ὧν οἱ Συλλογισμοί. Προτάσεων δὲ εὐπορήσομεν, εἴγε προχείρως, καὶ εὐπετῶς τοῦ μέσου κατατυγχάνειν ἐσόμεθα δυνατοί. τριῶν γὰρ ὄντων τῶν Ὅρων, ἐξ ὧν ἕκαστος τῶν Συλλογισμῶν τεχνουργεῖται, τὰ μὲν (4) δύο ἄκρα ἐπὶ τοῦ προβλήματος κεῖται, λοιπὸς δὲ μόνος ὁ μέσος Ὅρος, οὗ τὴν εὕρεσιν ἐπὶ τοῦ παρόντος διδασκόμεθα. οὐχ ἁπλῶς δὲ, ἀλλὰ καθὸ μόνον εἰς κατασκευὴν ἀνήκει τοῦ συλλογισμοῦ γενικῶς. τῆς γὰρ ἀποδείξεως ὅπως χρὴ ἐκλέγεσθαι τὰς προτάσεις, ἰδίᾳ ἐπὶ τῶν ὑστέρων Ἀναλυτικῶν πραγματεύεται ὁ Φιλόσοφος, ὥσπερ καὶ τὰς τοῦ πιθανοῦ Συλλογισμοῦ ἐν τοῖς Τοπικοῖς, καὶ περὶ Σοφιστικῶν Ἐλέγχων ἐν τοῖς μετὰ ταῦτα διδάσκει.

Διαί-

(1) Ἤτοι εὐπορείας. (2) Μέρει δηλαδὴ τοῦ πρώτου βιβλίου τῶν προτέρων ἀναλυτικῶν τοῦ εἰς τρία διαιρεθέντος μέρη. (3) Τοῦ συλλογισμοῦ δηλαδή. εἴρηται γὰρ ἄριστος τεχνίτης ἐστὶν ὁ μὴ μόνον εἰδὼς ὅπως τὰ τῆς τέχνης διαπράττεται, ἀλλὰ καὶ ὁ προχείρως ταῦτα ἀποτελῶν. (4) Τὸ μεῖζον ἄκρον, καὶ τὸ ἔλαττον ἄκρον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# Διαίρεσις τοῦ δευτέρου Τμήματος.

Διεῖλε δ' αὖτις τὸ δεύτερον τουτὶ τμῆμα τὴν ἀρχὴν εἰς δύο, ὧν π. μὲν τοῦ πρώτου μέρους κανόνας ἡμῖν προτίθεται, δι' ὧν τὴν εὕρεσιν ἐκδιδάσκει τῶν προτάσεων, ἐν δὲ τῷ δευτέρῳ περὶ διαιρέσεως διαλαμβάνει. Τὸ πρῶτον αὖθις εἰς τρία ὑποδιαιρεῖται μέρη, ὧν τὸ μὲν περιέχει ὅσα ἀνήκουσι γενικώτερον ἐπὶ πάντα τὰ προβλήματα. τὸ δὲ ὅσα εἰδικώτερον περιέχει, τὰ εἰς ἕκαστον ἴδια ἀνήκοντα τῶν προβλημάτων. ἐν δὲ τῷ λοιπῷ πραγματεύεται, ὅσα τοῖς προβλήμασιν ἴδια ἑκάστης ἐπιστήμης προσήκει, οἷα εἰσὶν οἱ περὶ εὑρέσεως φυσικῶν συλλογισμῶν κανόνες, ἢ γεωμετρικῶν, καὶ τῶν τοιούτων.

Κέχρηται δὲ μεθόδῳ κατὰ φυσικὴν τάξιν τε καὶ διδασκαλίαν. ἀπὸ γὰρ τῶν καθολικωτέρων ἀρχόμενος καὶ κοινῶν, πρόεισιν ἐπὶ τὰ μερικώτερά τε καὶ εἰδικώτερα. Πρὸ μέντοι τοῦ ἄρξασθαι τῆς τῶν κανόνων ἐκθέσεως, προαναχρούεταί τινα ἀναγκαίως προληπτέα, οἷον, ὑποθέσεις τε τῶν ῥηθησομένων, καὶ προασφαλήσεις.

Ταῦτα δ' εἰσὶν ὅτι τῶν ὄντων, ὅσα μὲν καθ' ἕκαστα καὶ αἰσθητὰ τυγχάνει, αὐτὰ μὲν κατ' οὐδενὸς πέφυκε κατηγορεῖσθαι, πλὴν ὡς κατὰ συμβεβηκός, ἤτοι παρὰ φύσιν, ὡς ὅτε φαμὲν τὸ λευκὸν ἐκεῖνο τὸν Σωκράτην εἶναι, ἢ τὸ προσιὸν Καλλίαν. Τούτων δ' ἄλλα κατηγορεῖται. καὶ γὰρ ἄνθρωπος, καὶ ζῶον (1) ἑκάτερον τούτων ἐστίν. Ὅσα δὲ ἀνώτατα γένη εἰσίν, ἃ καὶ γενικώτατα εἴρηται τῷ Πορφυρίῳ, κατ' ἄλλων μὲν κατηγορεῖται (κατὰ γὰρ τῶν ὑφ' αὐτὰ πάντων) κατὰ τούτων δὲ οὐκ ἔστιν ἀποδεῖξαι κατηγορούμενον ἕτερον, πλὴν εἰ μὴ κατὰ δόξαν, ὡς παρὰ Πλάτωνι, τὸ ἓν πάντων τῶν γενικωτάτων, ὡς γένος τιθέμενον, ἢ τὸ ὄν. ὃ καὶ πολλοῖς τῶν νῦν ὡς γένος τίθεται τῶν κατηγοριῶν. Ταῦτα τοιγαροῦν κατὰ δόξαν κατηγορηθείη τῶν γενικωτάτων, οὐ τῇ ἀληθείᾳ. οὐ γάρ εἰσι γένη, ἀλλ' ὁμώνυμοι μόνον φωναί. Ὅσα δὲ μεταξὺ τούτων τυγχάνει, ἃ καὶ γένη ὑπάλληλα εἴρηται τῷ Πορφυρίῳ, ἀμφοτέρως ἐνδέχεται. καὶ γὰρ αὐτὰ κατ' ἄλλων, καὶ ἄλλα κατὰ τούτων ῥηθήσεται. περὶ (2) ὧν φησὶν ὁ Φιλόσοφος τὰς σκέψεις σχεδὸν γίνεσθαι πάσας καὶ τοὺς λόγους.



(1) Τούτων τῶν καθ' ἕκαστα καὶ αἰσθητῶν, Σωκράτους δηλαδὴ καὶ Καλλίου, ἑκάτερος ἐστὶν ἄνθρωπος καὶ ζῶον. (2) Ὑπαλλήλων.

## Μέθοδος τῆς αἱρέσεως καὶ κανόνες.

Α΄. Ἐχόντων δὴ τούτων ὃν εἴρηται (1) τρόπον, πρὸ τῶν ἄλλων οἷόν τινα βάσιν, καὶ πάσης τῆς μεθόδου κρηπῖδα τοῦ προβλήματος, περὶ ὃ ἡ ζήτησις, ἀμφοτέρους προθετέον τοὺς ὅρους. τὸ διδόμενον ἤτοι τὸ ὑποκείμενον, καὶ τὸ κατηγορούμενον δηλαδὴ τὸ ζητούμενον.

Β΄. Τούτων κειμένων, ληπτέον ἐφεξῆς ὁ Φιλόσοφος παραινεῖ πρῶτον τάτε Ἑπόμενα ἑκατέρῳ τῶν ὅρων, καὶ Ἡγούμενα, ὁμοίως καὶ ἀλλότρια. Καλεῖ δὲ ἑπόμενα ὁ Φιλόσοφος τὰ καθολικώτερα, οἷς συνεισέρχεται καὶ τὰ ἴδια ἑκάστου, καὶ οἱ ὁρισμοί. καὶ ἑνὶ λόγῳ ἑπόμενά τινι ἐννοεῖται, ὅσα κατὰ φύσιν ἐκείνου κατηγορεῖται, ὅτι δηλαδὴ τιθεμένου ἐκείνου, καὶ ταῦτα συνάγεται. Ἐξ ἐναντίας δὲ Ἡγούμενα λέγεται, τὰ ἐπ᾽ ἔλαττον ὄντα, καὶ ὑποκειμένων χώραν πληροῦντα. (2) Τούτων γὰρ (3) τιθεμένων, ἕπεται τὰ καθολικώτερα, ὡς ἐπὶ τῶν ὑποθετικῶν συλλογισμῶν, ἐν τῷ συνημμένῳ γίνεται πρόδηλον. (4) Ἀλλότρια δέ εἰσιν ὅσα μὴ ἐνδέχεται αὐτῷ ὑπάρχειν, οὗ εἰσὶν ἀλλότρια.

Γ΄. Εἰς τελεωτέραν κατάληψιν, διαιρετέον ἡμῖν εἰσηγεῖται, τίνα τῶν ἑπομένων ἐν τῷ τί ἐστι, καὶ ποῖα ὡς ἴδια, ἢ ὡς συμβεβηκότα κατηγορεῖται. Καὶ αὖθις τίνα τούτων δοξαστικῶς, καὶ τίνα κατ᾽ ἀλήθειαν κατηγορεῖται. ἡ μέντοι ἀκριβὴς περὶ τούτων ἐκλογὴ, καὶ διάκρισις τοῖς Τοπικοῖς μᾶλλον οἰκεία.

Δ΄. Ἀξιοῖ ὁ Φιλόσοφος ἐκλέγειν ἡμᾶς μὴ τὰ τινὶ ἑπόμενα, ἀλλ᾽ ὅσα ὅλῳ τῷ πράγματι ἕπεται. οἷον μὴ τὰ τινὶ ἀνθρώπῳ ἑπόμενα, Σωκράτει δηλονότι, ἢ Καλλίᾳ, ἀλλ᾽ ὅσα παντὶ ἀνθρώπῳ. ἐκ τούτων γὰρ αἱ καθόλου προτάσεις, ὧν ἄνευ οὐκ ἔστι συλλογίσασθαι. εἰ γὰρ μὴ καὶ ἀμφοτέρας τὰς ἐν τῷ συλλογισμῷ προτάσεις, ἀλλὰ τὴν ἑτέραν πάντως ἀνάγκη καθόλου εἶναι, κἂν τῇ καθόλου προτάσει, ἡ ἐπὶ μέρους περιέχεται, οὐ μὴν ἀνάπαλιν.

Ε΄. Ὁμοίως δὲ καὶ τῶν ἡγουμένων ἐκλεκτέον, οἷς αὐτὸ, (ἤτοι τὸ διδόμενον, ἢ ζητούμενον ἐν τῷ προβλήματι) ἕπεται ὅλοις. οἷον τοῖς θηρωμένοις τὰ ἡγούμενα τοῦ ἀνθρώπου, οὐ ληπτέον ὡς ἡγούμενον καὶ δίπουν εἶναι. οὐ γὰρ παντὶ δίποδι ἕπεται ἄνθρωπον εἶναι, ἀλλὰ παντὶ γεωμέτρῃ, καὶ γραμματικῷ ἄνθρωπον εἶναι.

Ἐκ-

(1) Τὰ μὲν ἄτομα ὑποκεῖσθαι μόνον δηλαδὴ, τὰ δὲ γενικώτατα κατηγορεῖσθαι μόνον, τὰ δὲ ὑπάλληλα ἐπαμφοτερίζειν. (2) Τῶν ἡγουμένων. (3) Οἷον εἰ ἔστιν ἄνθρωπος, ἐστὶ καὶ ζῶον. (4) Ἀλλότρια τοῦ ζώου, τὸ ἀναίσθητον, τὸ ἄψυχον, καὶ τὰ ὅμοια.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Ζάτρ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ϛ. Ἐκλεκτέον ἔτι τὰ προσεχῆ τῶν ἑπομένων, οὐχ ἅμα τὰ προσεχῆ, καὶ τὰ πόῤῥω. οἷον, τῷ εἰληφότι ὡς ἑπόμενον τῷ ἀνθρώπῳ τὸ ζῶον, οὐκ ἔτι καὶ τὰ ἑπόμενα τῷ ζώῳ, ὡς τῷ ἀνθρώπῳ ἑπόμενα ληπτέον. εἴληφε γὰρ ταῦτα ἐν τῷ τὸ ζῶον λαβεῖν.

Ζ. Ὁμοίως δὲ καὶ τῶν ἡγουμένων τοῖς τὰ προσεχῆ λαμβάνουσι, περιττὸν ἂν εἴη, καὶ τὰ ποῤῥωτέρω ζητεῖν. τῷ γὰρ εἰληφότι ὅτι ὁ ἄνθρωπος ἡγούμενον ἐστὶ τῷ ζώῳ, οὐδὲν δέον ἔτι προσλαβεῖν τὸ μουσικὸν ἢ γραμματικὸν, ὡς ἡγούμενα τῷ αὐτῷ ζώῳ, οὗ δὴ καὶ τυγχάνει ἡγούμενα.

Η. Ληπτέον δὲ ἐν τοῖς ἑπομένοις, οὐ μόνον τὰ ἀεὶ ἑπόμενα, ἀλλὰ καὶ ὅσα ποτέ. οἷον ὅτι πᾶς ἄνθρωπος πολιοῦται, πᾶς ἀνὴρ γενιάσκει, καὶ τὰ ὅμοια.

Θ. Οὐ μέντοι τὰ ἀμφοτέροις ἑπόμενα τοῖς ὅροις ἐκλεκτέον ἀεί. οὐ γὰρ ἔσται πᾶς συλλογισμὸς ἐκ τῶν τοιούτων. τὸ γὰρ ἀμφοτέρων κατηγορούμενον τῶν ἐν τῷ προβλήματι ὅρων, μέσος γίνεται ὅρος κατὰ τὸ δεύτερον τῶν συλλογιστικῶν σχημάτων. ἐν ᾧ ἐξ ἀμφοτέρων καταφατικῶν, οὐδὲν συνάγεται πρόβλημα, ὅτι μὴ κατὰ (1) συμβεβηκὸς, ὡς ἀνωτέρω (2) εἴρηται.

## Ἴδια ἐφ᾽ ἑκάστου σχήματος.

1 Εἰ μὲν οὖν εὑρεθείη τὶ ταὐτὸν, τοῦ μὲν ζητουμένου ἡγούμενον, ἑπόμενον δὲ τοῦ διδομένου, μέσος ὅρος γινόμενον δίδωσι συναγαγεῖν ἐπὶ τοῦ πρώτου σχήματος, κατὰ τὴν πρώτην συζυγίαν καθόλου καταφατικὸν πρόβλημα. Γράμματα.

2 Εἰ δέ τι ταὐτὸν εἴη ἐν τοῖς ἡγουμένοις ἀμφοτέρων τῶν ὅρων, μέσος ὅρος γινόμενον κατασκευάσαι δίδωσιν ἡμῖν ἐπὶ μέρους καταφατικὸν πρόβλημα ἐπὶ τοῦ τρίτου σχήματος, καὶ δι᾽ ἀντιστροφῆς τῆς ἐλάττονος ἐπὶ τὸ πρῶτον. Σάβασι. Σανίδι



(1) Κατὰ συμβεβηκὸς ἤγουν διὰ τὴν ὕλην, ἀλλ᾽ οὐχὶ διὰ τὸ σχῆμα, ὡς ἔχει τὰ σχηματισθέντα ἐνταῦθα. σεσημείωται δὲ ταῦτα ἵνα ἴδῃς ὅτι ἐξ ἀμφοτέρων καταφατικῶν ἐν δευτέρῳ οὐ συνάγεταί τι, ἐπεὶ καὶ τὸ παντὶ καὶ οὐδενί.

(2) Εἴρηται γὰρ ἀνωτέρω ὅτι αἱ ὁμοιοσχήμονες ἀδόκιμοι παντάπασιν, καὶ ἀσυλλόγιστοι οὐ κατὰ στάσιν συναγόμενοι ἐν ἐκείναις τῶν ἄκρων ὅτι μὴ κατὰ συμβεβηκὸς, ὡς ἐνταῦθα.







Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

3 Εἰ δὲ (1) που τύχωμεν τοῦ αὐτοῦ, ἀλλοτρίου μὲν τοῦ ζητουμένου, ἑπομένου δὲ τῷ διδομένῳ, ἔξεστι ἡμῖν τοῦτο, μέσον ὅρον πεποιηκόσι καθόλου
Θέσει ἀποφατικὸν κατασκευάσαι ἐπὶ τοῦ πρώτου σχήματος.

6 Ἐὰν δέ τι ταυτὸν εὑρεθῇ ἑπόμενον τῷ ζητουμένῳ, καὶ ἡγούμενον τοῦ δι-
Γράμ- διδομένου, συναχθήσεται ἐν τῇ πρώτῃ συζυγίᾳ τοῦ πρώτου σχήματος τὸ
ματα ἔλαττον ἄκρον κατὰ τοῦ μείζονος, καὶ ἐπὶ μέρους ἐν τῷ τρίτῳ σχήματι, τὸ
Σαβαχ-μίν μεῖζον ἄκρον κατὰ τοῦ ἐλάττονος.

4 Ὁμοίως δὲ καὶ εἴ τι ταυτὸν εἴη, τοῦ μὲν διδομένου ἀλλότριον, ἑπόμε-
Θαμ- νον δὲ τῷ ζητουμένῳ, συναχθήσεται δι' αὐτοῦ ἐπὶ τοῦ δευτέρου σχήματος
βεσε. καθόλου ἀποφατικὸν πρόβλημα ἐν τῇ Θάμβεσεν.

5 Ἐπὶ μέρους δὲ ἔξεστι συναγαγεῖν ἀποφατικῶς, εἴ τινος τοῦ αὐτοῦ εὐπορήσωμεν, ἀλλοτρίου μὲν τῷ ζητουμένῳ, ἡγουμένου δὲ τῷ διδομένῳ.
Τέπασι μέσος γὰρ ὅρος γινόμενον ἐπὶ τοῦ τρίτου σχήματος συνάξει μερικὸν ἀπο-
Τεχνι- φατικὸν πρόβλημα ἐν τῇ Τέπασο. ἀντεστραμμένης δὲ τῆς ἐλάττονος, καὶ ἐπὶ
κῶς. τοῦ πρώτου σχήματος.

## Σαφήνεια τῶν εἰρημένων ἐν παραδείγμασιν.

Εἰς πληρεστέραν δὲ τῶν εἰρημένων διδασκαλίαν ὁ Φιλόσοφος καὶ τυπικῶς ἡμῖν διὰ παραδειγμάτων, ἕκαστα σαφηνίζει. Θετέον τοιγαροῦν πρόβλημα, οὗ διδόμενον μὲν εἴη, ἡ ἡδονή, ζητούμενον δὲ ἐν αὐτῇ τὸ ἀγαθόν. Κείσθωσαν ἐξ ἐναντίας ἀλλήλαις οἱ τοῦ προβλήματος ὅροι, τὸ μὲν ζητούμενον ἐφ' οὗ τὸ α, τὸ δὲ διδόμενον ἐφ' οὗ τὸ ε. καὶ ἀνωτέρω μὲν τοῦ α, κείσθωσαν τὰ ἑπόμενα τοῦ ζητουμένου, ἐφεξῆς δὲ ὑπὸ τὸ α τὰ ἡγούμενα, καὶ ἀλλότρια τοῦ αὐτοῦ, ὁμοίως δὲ καὶ ὑπὲρ τὸ ε κείσθωσαν τὰ ἑπόμενα τοῦ διδομένου. ἐφεξῆς δὲ ὑπὸ τὸ ε τὰ ἡγούμενα, καὶ ἀλλότρια τοῦ αὐτοῦ.

Ἔστω δὲ τοῦ ἀγαθοῦ, ἑπόμενα μέν, ἐφ' ὧν τὸ β, τὸ ἐφετόν, τὸ διωκτόν, τὸ οἰκεῖον, καὶ ὅσα ἄλλα. ἡγούμενα δὲ ἐφ' ὧν τὸ γ. Κατὰ ἀλήθειαν μὲν εὐδαιμονία, εὐδοξία, εὐεξία, ὑγιεία, τὸ ὠφέλιμον, τὸ αἱρετόν, τὸ οὗ ἕνεκα, τὸ κατὰ φύσιν, καὶ τὰ τοιαῦτα. Δοξαστικῶς δέ, τὸ κατὰ νόμον, τὸ σεμνόν, ἀρετή, τέλειον, κατ' ἀρετὴν βίος, ὑπὲρ πατρίδος μάχεσθαι, ὑπὲρ νόμων, ὑπὲρ ἀρετῆς, καὶ τὰ τοιαῦτα. Ἀλλότρια δὲ ἐφ' ὧν τὸ δ. κατὰ μὲν ἀλήθειαν τὸ φευκτόν, τὸ βλαβερόν, τὸ ἀνοίκειον, τὸ

ἀσύμ-

(1) Τοῖς.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀσύμφορον, τὸ αἰσχρὸν, λυπηρὸν, ἀτελὲς, καὶ εἴτι τοιοῦτον. Δοξαστικῶς δὲ τὸ παρὰ νόμον, τὸ ἄσεμνον, ἡ κακία, καὶ ὅσα τοιαῦτα.

Τῆς δὲ ἡδονῆς ἑπόμενα μὲν ἔστωσαν ἐφ' ὧν τὸ ζ. Κατ' ἀλήθειαν μὲν τὸ ὀρεκτὸν, τὸ οἰκεῖον, τὸ κατὰ φύσιν, ἡ ἀνεμπόδιστος ζωὴ, τὸ ἀνενόχλητον, καὶ ὅσα ἄλλα. Δοξαστικῶς δὲ, ἡ κίνησις, τὸ ἀτελές. ἡγούμενα δὲ ἐφ' ὧν τὸ η. κατὰ μὲν ἀλήθειαν, ἡ κατὰ μουσικὴν φέρε εἰπεῖν ἡδονὴ, ἡ ἐν ἀφροδισίοις, καὶ πόμασι, καὶ βρώμασιν, ὑγιεία, εὐδοξία, εὐτεκνία, εὐπορία, ἄπονος ζωὴ, τὸ οὗ ἕνεκα, καὶ τὰ τοιαῦτα. Δοξαστικῶς δὲ καὶ ἐπὶ μέρους, τὸ αἰσχρὸν, παράνομον, καὶ τὰ τοιαῦτα. Ἀλλότρια δὲ ὁμοίως τῆς αὐτῆς ἐφ' ὧν τὸ θ. κατὰ μὲν ἀλήθειαν, νόσος, πόνος, ἀπορία, φόβος, τὸ ὀχληρὸν, τὸ παρὰ φύσιν, καὶ ὅλως τὸ λυπηρόν. Δοξαστικῶς δὲ καὶ ἐπὶ μέρους, τὸ ἐφετὸν, τὸ διωκτὸν, καὶ εἴτι ἄλλο. Ἐκκείσθωσαν δὲ ταῦτα σαφηνείας ἕνεκα, καὶ ἐφεξῆς ἐπὶ διαγράμματος.

Κατασκευάζειν τοιγαροῦν βουλομένοις καθόλου, σκεπτέον εἴ τι ταὐτὸν εἴη ἐπὶ τοῦ γ καὶ τοῦ ζ, ὡς ἐπὶ τῶν ἐκτεθέντων φαίνεται τὸ κατὰ φύσιν, ἡγούμενον μὲν τῷ ἀγαθῷ, τῇ ἡδονῇ ἑπόμενον. οὕτω γὰρ ἐξέσται μέσον ὅρον τιθεμένοις τοῦτο, συναγαγεῖν καθόλου καταφατικὸν πρόβλημα ἐπὶ τοῦ πρώτου σχήματος, οἷον. τὸ ἀγαθὸν κατὰ παντὸς τοῦ κατὰ φύσιν, τὸ κατὰ φύσιν κατὰ πάσης ἡδονῆς, καὶ τὸ ἀγαθὸν ἄρα κατὰ πάσης ἡδονῆς.

Ἐπὶ δὲ μερικὸν πρόκειται κατασκευάσαι πρόβλημα, βλεπτέον ἐπὶ τοῦ γ καὶ η εἴτι ταὐτὸν εἴη, οἷον ἐπὶ τῶν ἐκτεθέντων τὸ οὗ ἕνεκα. ᾧ μέσῳ χρησάμενοι ὅρῳ, κατασκευάσομεν ἐπὶ τοῦ τρίτου σχήματος, ἐν τῇ Σάβασι μερικὸν καταφατικὸν, οἷον. τὸ ἀγαθὸν κατὰ παντὸς τοῦ οὗ ἕνεκα, ἡ ἡδονὴ κατὰ παντὸς τοῦ οὗ ἕνεκα, καὶ τὸ ἀγαθὸν ἄρα κατάτινος ἡδονῆς. Ἀντεστραμμένης δὲ τῆς ἐλάττονος, καὶ ἐπὶ τοῦ πρώτου σχήματος συναχθήσεται ἐν Σανίδι τὸ αὐτό.

Ἀνασκευάσαι δὲ βουλομένοις, τὰ ἀλλότρια σκεπτέον τοῦ ζητουμένου, καὶ ἑπόμενα τοῦ διδομένου, οἷον τὰ δ καὶ ζ. κἄντι (1) κοινὸν εὑρεθείη, οἷον, ἐπὶ τῶν ἐκτεθέντων τὸ ἀτελὲς, ἐξέσται συλλογιζομένοις ἐπὶ τοῦ πρώτου σχήματος καθόλου συναγαγεῖν ἀποφατικὸν πρόβλημα. οἷον, τὸ ἀγαθὸν κατ' οὐδενὸς ἀτελοῦς, τὸ ἀτελὲς κατὰ πάσης ἡδονῆς, τὸ ἀγαθὸν ἄρα κατ' οὐδεμιᾶς ἡδονῆς. Ὡσαύτως δὲ καὶ εἴτι ταὐτὸν εἴη ἐπὶ τοῦ

θ καὶ

(1) Κοινὸν εἴρηται ἀντὶ τοῦ ταὐτὸν, ὡς ἐν τοῖς ἄλλοις εἴρηται. τὸ αὐτὸ γὰρ ὀφείλει μέσον ὅρον εἶναι, ὡς ἐνταῦθα τὸ ἀτελὲς ἐστὶ κοινὸν τοῦτε ζητουμένου καὶ διδομένου. εὕρηται γὰρ ἔντε τοῖς ἀλλοτρίοις τοῦ ζητουμένου, καὶ ἑπομένοις τοῦ διδομένου. ἄλλως γὰρ οὐκ ἂν δυναίμεθα συλλογίσασθαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ... Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Pag. 406.

Κατὰ ἀλήθειαν·
τὸ ὠφέλιμον,
τὸ αἱρετὸν,
τὸ λυσιτελὲς,
τὸ συμφέρον,
τὸ ἐφετὸν,
B τὸ διωκτὸν,
τὸ οἰκεῖον,
τὸ οὗ ἕνεκα,
τὸ ὀρεκτόν.
Δοξ.
τὸ σεμνόν.
Κατὰ ἀλήθ.
εὐδαιμονία,
εὐδοξία,
εὐεξία,
ὑγιεία,
ὠφέλιμον,
αἱρετὸν,
τὸ οὗ ἕνεκα,
τὸ κατὰ φύσιν.
Γ Δοξ.
τὸ κατὰ νόμον,
τὸ σεμνὸν,
ἀρετὴ τελεία
κατὰ ἀρετὴν βίος,
ὑπὲρ πατρίδος μάχεσθαι,
ὑπὲρ νόμων,
ὑπὲρ ἀρετῆς.
Κατὰ ἀλήθ.
τὸ φευκτὸν,
λυπηρὸν,
βλαβερὸν,
αἰσχρὸν,
ἀνοίκειον,
Δ ἀτελὲς,
ἀσύμφορον,
ζημιῶδες.
Δοξ.
τὸ παράνομον,
ἄσεμνον,
ἡ κακία




Τὰ ἐν συστάσει καὶ ἐν τάξει, γζ. γη. δζ. γθ. δη. βη.

Τὰ ἀσυλλόγιστα βζ. γθ. δθ.

Κατὰ ἀλήθ.
τὸ αἱρετὸν,
τὸ κατὰ φύσιν
ὀρεκτὸν,
τὸ οἰκεῖον,
τὸ κατὰ φύσιν,
ἡ ἀνεμπόδιστος Z
ζωὴ,
τὸ ἀνενόχλητον,
Δοξ.
ἡ κίνησις,
τὸ ἀτελὲς,
ἐνέργεια.
Κατὰ ἀλήθ.
ἡ κατὰ φύσιν
ἡδονὴ
ἡ ἐν ἀφροδισίοις
ἡ ἐν βρώμασι,
καὶ πόμασι,
ὑγίεια, εὐδοξία
εὐπορία, ἀπονία, H
ἄπονος ζωὴ, τὸ
ὀρεκτὸν,
τὸ οὗ ἕνεκα,
κατ' ἀρετὴν βίος,
δοξαστικῶς,
ἐπὶ μέρους.
τὸ αἰσχρὸν,
τὸ παράνομον.
Κατὰ ἀλήθ.
νόσος, πόνος,
ἀπορία, φόβος,
τὸ σκληρὸν,
τὸ παρὰ φύσιν,
καὶ ὅλως
τὸ λυπηρόν. Θ
Δοξ.
καὶ ἐπὶ μέρους.
τὸ ἐφετὸν
τὸ διωκτὸν,
τὸ σεμνόν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

*Pag. 407*




ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Α κατηγορεῖται καὶ τούτῳ ἕπεται τὸ β, ἡγεῖται τὸ γ, ἀλλότρειον ἐστὶ τὸ δ, ὑπόκειται τὸ ε, καὶ τούτῳ ἕπεται τὸ ζ, ἡγεῖται τὸ η, ἀλλότρειόν ἐστι τὸ θ. Ἴστέον οὖν ὅτι τούτοις τοῖς γράμμασι σημαίνονται τὰ ἡγούμενα, ἑπόμενα, καὶ ἀλλότρεια τοῦ διδομένου τε καὶ ζητουμένου καὶ αὐτὰ τὰ ὑπα. ἵνα δὲ τὰς δυνατὰς καὶ ἀδυνάτους συζυγίας τούτων, οὐ μόνον ἐν τῷ νῷ, ἀλλὰ καὶ ἐν τοῖς χείλεσιν ἑτοίμως ἔχητε, ἐξεῦρον τὰς φωνὰς ταύτας, τοῖς χαρακτηριστικοῖς γράμμασι συντεθειμένας, πλὴν τοῦ λέγοντος φωνήεντος, ὃ τοῦ συμπεράσματος τὴν ποιότητα, καὶ ποσότητα δηλοῖ, καὶ πλὴν τοῦ κ, ὃ τέτακται αὐτὶ τοῦ π, ἵνα φαίνωνται τὰ γνωριστικὰ τῶν ἡγουμένων ἑπομένων καὶ ἀλλοτρείων σύμφωνα ὄντα.

Ζέγανα, Γόνιεα, Δάζενι, Θέβαρε, Κέδακο, Κέβανι, Χρῆσιν ἔχουσιν. ἀσύστατοι δὲ πάντως, Ζέβας, Θέδας, καὶ Θέγας.

Χάριν οὖν παραδείγματος σκέψασθαι ἐν τῷ ζέγανα, ὅτι τὸ ζ ἑπόμενόν ἐστι τοῦ ε, τουτέστι τοῦ διδομένου, τὸ δὲ γ ἡγούμενον τοῦ α, τουτέστι τοῦ κατηγορουμένου. ἐξ ὧν συνάγεται τὸ α δηλαδὴ συμπέρασμα καθόλου καταφατικόν. ἵνα δὲ καὶ τοὺς τρόπους εἴδητε, ὅσοι χρησιμεύουσιν ἑκάστῃ συζυγίᾳ, λάβετε ἀπὸ μνήμης καὶ ταῦτα. Ζέγανα, Γράμματα, Γάκιεα, Σάβασι, καὶ Σανίδι, Δάζενι, Ἔγραψε, Θάμβωσε, Κέδακο, Τέπασο, Τεχτικὸς, καὶ Τένιο, Κέβανι δ' ἀκαταλλήλως.

*Pag. 409.*






ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

θ̄ καὶ β̄, ἀλλότριον μὲν τῷ διδομένῳ, ἑπόμενον δὲ τῷ ζητουμένῳ, οἷον ἐπὶ τῶν ἐκτεθέντων τὸ διωκτὸν, συναχθήσεται ἐπὶ τοῦ δευτέρου σχήματος, ὁμοίως καθόλου ἀποφατικὸν πρόβλημα ἐν τῷ Θάμβονον. οἷον, τὸ διωκτὸν κατὰ παντὸς ἀγαθοῦ, τὸ διωκτὸν κατ' οὐδεμιᾶς ἡδονῆς, τὸ ἀγαθὸν ἄρα κατ' οὐδεμιᾶς ἡδονῆς.

Εἰ δὲ ἀνασκευάσαι πρόκειται ἐπὶ μέρους τινὸς, ἐπὶ τοῦ δ̄ καὶ η̄ σκοπεῖν χρὴ, εἴτι ταυτὸν εἴη, ὡς ἐπὶ τῶν ἐκτεθέντων τὸ παράνομον. τούτῳ γὰρ μέσῳ χρησάμενοι ὅρῳ, συνάξομεν ἐπὶ τοῦ τρίτου σχήματος μερικὸν ἀποφατικὸν, ἐν τῷ Τέπασο. οἷον, τὸ ἀγαθὸν κατ' οὐδενὸς παρανόμου, ἡ ἡδονὴ κατὰ παντὸς παρανόμου, τὸ ἀγαθὸν ἄρα οὐ κατὰ πάσης ἡδονῆς. Ἀντεστραμμένης δὲ τῆς ἐλάττονος, καὶ ἐπὶ τοῦ πρώτου συναχθήσεται σχήματος, τὸ αὐτὸ ἐν τῷ τεχνικός. εἰ δ' ἀμφοτέρας ἀντιστρέψῃς τὰς προτάσεις, συνάξεις αὐτὸ τοῦτο καὶ ἐπὶ τοῦ δευτέρου σχήματος ἐν τ Τεῦιο. Εἰ δέ τι τῶν ὑπὸ τὸ β̄ καὶ η̄ εἴη ταυτὸν, συναχθήσεται καθόλου καταφατικὸν ἐπὶ τοῦ πρώτου σχήματος, ἀλλ' ἀντεστραμμένως, τὸ ε̄ κατὰ τοῦ ᾱ. τὸ διδόμενον δηλαδὴ κατὰ τοῦ ζητουμένου. τοῦ μὲν γὰρ η̄ κατὰ παντὸς κατηγορηθήσεται τὸ ε̄, ἅτε δὴ εἶδος ἐκείνου, καὶ ὑπ' ἐκείνῳ ὄντος. Τὸ δὲ η̄ ταυτὸν ὂν, τῷ β̄, ὃ κατὰ παντὸς λέγεται τοῦ ᾱ, οἷα δὴ ἑπόμενον τοῦ αὐτοῦ, κατηγορηθήσεται κατὰ παντὸς τοῦ ᾱ. ἀλλὰ καὶ τὸ ᾱ ἐξέσται κατά τινος συναγαγεῖν τοῦ ε̄, διὰ τὸ ἀντιστρέφειν τὴν καθόλου κατηγορίαν, τῇ κατὰ μέρος.

Εἰς σαφεστέραν ἔννοιαν ληφθήτω μέσος ὅρος τὸ ὀρεκτὸν, ἢ τὸ οἰκεῖον, καὶ σχηματιζέσθω ἐπὶ τοῦ πρώτου σχήματος τοῖς κειμένοις δυσὶν ἄκροις, τὸ ἀγαθὸν φημὶ καὶ τὴν ἡδονὴν, ὡδί.

Ἡ ἡδονὴ κατὰ παντὸς ὀρεκτοῦ,
Τὸ ὀρεκτὸν κατὰ παντὸς ἀγαθοῦ,
Ἡ ἡδονὴ ἄρα κατὰ παντὸς ἀγαθοῦ.



Pag. 410.

Οὕτω μὲν συνάγεται τὸ ἔλαττον ἄκρον κατὰ τοῦ μείζονος, ἀντεστραμμένως. καταλλήλως δὲ συναχθήσεται, ἀντιστραφέντος τοῦ συμπεράσματος. τῷ γὰρ λέγοντι ἡ ἡδονὴ κατὰ παντὸς ἀγαθοῦ, ἐξέσται δήπου, καὶ τὸ ἀγαθὸν εἰπεῖν κατά τινος ἡδονῆς.

Αὗται μὲν οὖν αἱ συλλογιστικαὶ συζυγίαι, αἱ δὲ παρὰ ταύτας, ἡ β̄ ζ̄, καὶ γ̄ θ̄, καὶ δ̄ θ̄, ἀσυλλόγιστοι ἐς τὸ παντελὲς, καὶ ἀσύστατοι εἰσί.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἰσί. τὸ μὲν γὰρ β͞ καὶ ζ͞ εἰ ταὐτὸν εἴη, ταχθήσεται μὲν μέσος ὅρος κατὰ τὸ δεύτερον σχῆμα, ἀλλὰ κατηγορηθήσεται ἀμφοτέρων τῶν ἄκρων, τοῦτε α͞ καὶ ε͞, ὡς ἀμφοῖν ἑπόμενα παρὰ τοὺς κανόνας τοῦ δευτέρου σχήματος. εἰ δὲ τὸ γ͞ καὶ θ͞ ταυτὸν εἴη, ταχθήσεται μὲν ἀντὶ μέσου ὅρου κατὰ τὸ πρῶτον σχῆμα, ἀλλ᾽ ἄχρηστος ἔσται ἡ συζυγία, διὰ τὸ τὴν ἐλάττονα ἀποφατικὴν ἔχειν. τὸ γὰρ θ͞ ταὐτὸν ὂν τῷ γ͞, ὑποκείσεται μὲν τῷ α͞ ὡς ἡγούμενον ἐκείνου καὶ εἶδος, ἀπαγορευθήσεται δὲ τοῦ ε͞ ὡς ἀλλότριον τοῦ αὐτοῦ. ὥστε συμβαίνειν τὴν ἐλάττονα ἀποφατικὴν εἶναι, ὅπερ ἀντίκειται τοῖς παραδεδομένοις ἀνωτέρω περὶ τοῦ πρώτου σχήματος κανόσιν.

Ἀλλ᾽ οὐδὲ τὸ δ͞ καὶ θ͞ εἰ τύχῃ ταὐτὸ, συλλογιστικὴν ποιήσει συζυγίαν. ἀλλότριον γὰρ ὂν ἀμφοτέρων τῶν ἄκρων, ἀποφατικὰς ἄμφω τὰς προτάσεις ποιήσει, ἐξ ὧν οὐδὲν συνάγεται.

## Ὅτι οὐκ ἔστιν ἑτέρα μέθοδος προτάσεων εὑρετικὴ παρὰ τὴν ἐκτεθεῖσαν.

Ὅτι οὐκ ἔστιν ἄλλως ἀποπορίσασθαι προτάσεων εἰς συλλογισμοῦ κατασκευὴν, πλὴν διὰ τῆς ἐκτεθείσης μεθόδου, δείκνυσιν ἐφεξῆς ὁ Φιλόσοφος. ὁ γὰρ μέσος ὅρος, (οὗ μόνου τὴν εὕρεσιν θηρᾶσθαι λείπεται) τῷ προτάσεων ἀποπορήσοντι, δυοῖν θάτερον, ἢ τοῖς κειμένοις ὅροις οἰκεῖος ἐστὶν ἐξ ἀνάγκης, ἢ τῷ μὲν οἰκεῖος, τῷ δὲ ἀλλότριος, ἀλλὰ μὴν ὅσα οἰκεῖα τε καὶ ἀλλότρια ἑκατέρου τῶν ὅρων εἴληπται ἀκριβῶς ἐπὶ τῆς ἐκτεθείσης μεθόδου. Τὰ μὲν οἰκεῖα ἐν τοῖς ἡγουμένοις καὶ ἑπομένοις, ἐν οἷς καὶ τὰ ἀντιστρέφοντα συνοεῖται. τὰ δὲ ἀλλότρια ἐν τοῖς ἀλλοτρίοις ἑκατέρου. Τοιγαροῦν οὐκ ἔστιν ἐκτὸς τῶν ληφθέντων ἐπὶ τῆς ἐκτεθείσης μεθόδου, μέσου ἀποπορῆσαι ὅρου. ὥστε οὐδὲ προτάσεων εἰς συλλογισμοῦ σχηματισμόν.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006